## Λογ. ρμδ. ΕΙΣ ΤΟΝ ΤΙΜΙΟΝ ΚΑΙ ΖΩΟΠΟΙΟΝ ΣΤΑΥΡΟΝ· καὶ εἰς τό, Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; καὶ εἰς τὸν τυφλὸν καὶ μογιλάλον· καὶ εἰς τὸ ῥητὸν τοῦ προφήτου Ἀμβακούμ, Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην.

Ματθ. ια. γ.

Ἀμβ. γ. α.

Ex Ms. Regio Lat.

Καλῶς ἡμῖν καὶ σοφῶς ἡ προηγησαμένη γλῶσσα τοῦ σταυροῦ τὰς ἀκτῖνας ἐπέδειξεν. ἐκήρυξε σταυρόν, τὸν ψιλὸν μὲν τῇ λέξει, μέγαν δὲ τῇ ἐνεργείᾳ· ἐκήρυξε σταυρόν, ὃν γελῶσιν ἄπιστοι, καὶ τρέμουσι δαίμονες· ἐκήρυξε σταυρόν, ὃν ἔπηξαν οἱ Ἰουδαῖοι, καὶ ὁ κόσμος προσκυνήσιν· ἐπέδειξεν αὐτοῦ καὶ ἀκτῖνας. ἀκτῖνας γὰρ τοῦ σταυροῦ ὑποτίθεται παρθενίαν λάμπουσαν· καὶ λάμψασαν οὐχ ἁπλῶς, ἀλλ' ἐκ προνοίας τὸ κάλλος ἐκφαίνουσαν. καὶ ὅπως, ἄκουε. πορνεύοντα περιέλαβεν ὁ σταυρὸς τὸν κόσμον, καὶ σωφρονοῦντα πᾶσιν ἀπέδειξε. τοῦ σταυροῦ αἱ ἀκτῖνες οὐκ ἀπὸ τῶν λόγων κηρύττονται, ἀλλὰ διὰ τῶν ἔργων ἑρμηνεύονται. οὐ χρείαν ἔχει σταυρὸς γλώσσης πειθούσης καὶ λέξεως ἑρμηνευούσης, ἀλλὰ ψυχῆς ἀγρυπνούσης καὶ ἔργα δικαιοσύνης ἐπιτελούσης. ἀφ' οὗ σταυρὸς ἐπάγη, οἱ μύσται τῆς ἀσεβείας· ἀφ' οὗ σταυρὸς ἐπάγη, οἱ πόρνοι κήρυκες τῆς εὐσεβείας καὶ τῆς σωφροσύνης ἐγένοντο· ἀφ' οὗ ὁ σταυρός, τελῶναι εὐαγγελισταί, καὶ διῶκται κήρυκες τῆς εὐσεβείας ἐδείχθησαν. ἐπήγαγε δὲ καὶ ὁ προφητευσάμενος λόγος τὴν μνήμην τοῦ σταυροῦ, καὶ τὴν ῥίζαν. ῥίζα δὲ σταυροῦ ἡ παρθενία, ἡ τὸν παθόντα τεκοῦσα παρθένος, τεκοῦσα οὐ νόμῳ φύσεως, ἀλλὰ δυνάμει καὶ ἐνεργείᾳ τοῦ τεχνίτου τῆς φύσεως. μὴ δεῖν ἀπαίτει ἐπὶ τῆς παρθένου τὸν ἄνδρα, ἐπεὶ ἀπαιτηθήσῃ ἐπὶ τοῦ Ἀδὰμ τὴν γυναῖκα. ἐὰν γὰρ λέγῃς, πῶς ἐγέννησεν ἡ παρθένος ἄνευ ἀνδρός; ἐρωτήσω κἀγώ, πῶς ἡ Εὔα προῆλθεν ἐκ τοῦ Ἀδὰμ ἄνευ γυναικός; καὶ τί δεῖ σώματι σῶμα παραβάλλειν; τίς ὁ τοῦτο μεμψάμενος Ἰουδαῖος; αἰσχυνέσθω ὅτι ἀναγινώσκων, οὐδὲν ἐπιγινώσκει. ἀμφιβάλλει πῶς ἔτεκεν ἡ παρθένος; ἑρμηνευέτω πῶς ἔτεκεν ἡ πέτρα τὸ ὕδωρ, οὐκ ἔχουσα ἀποκειμένην φλέβα, οὐ ποταμὸν ὑπεστορεσμένον, οὐ ῥίζαν ὑδάτων· ἀλλὰ τὸ θαυμαστόν, καὶ αὕτη ξηρὰ καὶ ἄγονος, καὶ ἡ ῥάβδος ξηρὰ καὶ ἄγονος. ἄγονος ῥάβδος ἁψαμένη πέτρας ἀγόνου, ἤνεγκεν ὕδωρ· δύναμις ὑψίστου ἐπισκιάσασα τῇ παρθένῳ, αὐτή γε ζῶσα τῇ ἀθανάτῳ ζωῇ, καὶ ζώσης ἁψαμένη σαρκός, οὐκ ἤνεγκε καρπόν, ὡς ἡ πέτρα ἤνεγκε τὸ ὕδωρ; ἀλλ' οὔτε τότε ἡ πέτρα ἤνεγκεν ὕδωρ, οὔτε ἡ ῥάβδος ἡ πλήξασα, ἀλλ' ἡ δύναμις ἡ δι' ἐκείνων χωρηθεῖσα. πέτρα αὐτὸ τὸ φαινόμενον ἦν· μᾶλλον μὲν οὖν τὸ φαινόμενον πέτρα ἦν, τὸ δὲ νοούμενον Χριστός. ἑρμηνεύει Παῦλος, ὅτι ἡ πέτρα ἐκείνη

α. Κορ. ι. δ.

εἰκὼν ἦν τοῦ Χριστοῦ. Ἔπινον γάρ, φησιν, ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός. ἡ πέτρα τύπον εἶχε τοῦ δεσπότου, ἡ ῥάβδος τύπον εἶχε τοῦ σταυροῦ· καὶ αὐτὴ ἡ ἱστορία ἑρμηνεύει τοῦ σταυροῦ τὴν δύναμιν. ἐπάταξε Μωϋσῆς τὴν πέτραν ἅπαξ καὶ δίς. εἰ δυνάμει Θεοῦ ἐπάταξε, τίς χρεία δευτέρας πληγῆς; εἰ δὲ ἐκτὸς δυνάμεως Θεοῦ τύπτει, οὔτε δευτέρα, οὔτε δεκάτη, οὔτε ἑκατοστὴ πληγὴ δύναται ἐπιδοῦναι τῇ ἀγόνῳ φύσει γόνιμον φύσιν. εἰ μὲν οὖν Θεοῦ τὸ ἔργον ἁπλῶς, καὶ ἄνευ μυστηρίου σταυροῦ, ἤρκει καὶ τὸ ἅπαξ, ἤρκει καὶ νεῦμα, ἤρκει καὶ λόγος· ἀλλ' ἵνα δείξῃ πῶς δείκνυται σταυροῦ ἡ χάρις, καὶ ὅτι ἄλλως Χριστὸς οὐ πηγάζει τὴν εὐεργεσίαν, ἢ διὰ σταυροῦ χορηγούμενος, ἐπάταξε Μωϋσῆς ἅπαξ καὶ δίς, οὐ κατὰ τοῦ αὐτοῦ σχήματος, ἀλλὰ σταυρὸν ὑπογράφων. ἅπαξ καὶ δὶς ἐπάταξε. διὰ τί ἅπαξ καὶ δίς; ἵνα καὶ ἡ ἄψυχος φύσις αἰσθανθῇ τοῦ σταυροῦ τὸ σύμβολον. καὶ γὰρ βασιλέως ἀπόντος, εἰκὼν βασιλέως πληροῖ χώραν βασιλέως· καὶ προσκυνοῦσιν ἄρχοντες, καὶ ἱεραὶ νεομηνίαι ἐπιτελοῦνται, καὶ ἄρχοντες ὑπαντῶσι, καὶ δῆμοι προσκυνοῦσιν, οὐ πρὸς τὴν σανίδα βλέποντες, ἀλλὰ πρὸς τὸν χαρακ-

ἴσ. τούτῳ

τῆρα

ἶχνος τοῦ βασιλέως, οὐκ ἐν τῇ φύσει θεωρούμενον, ἀλλ' ἐν τῇ γραφῇ παραδιδόμενον. εἰκὼν τοσοῦτον ἰσχύει βασιλέως ἐπὶ τοῦ· ἡ ἀξία τοῦ βασιλέως εἰκὼν, ὁ σταυρὸς, οὐκ ἠδύνατο καὶ φαινόμενον, καὶ πέτρας ῥῆξαι, καὶ τὰ ὕδατα, καὶ πᾶσαν τὴν οἰκουμένην; εἰ οὐκ ἴσχυσε, πῶς ὁ μακάριος Δαβὶδ ἐρωτᾷ τὴν κτίσιν; ἐπειδὴ καὶ τὴν θάλασσαν ῥάβδῳ Μωϋσῆς ἐπάταξε, καὶ τῇ αὐτῇ ῥάβδῳ καὶ τὴν πέτραν ἔτυψε, καὶ πολὺ σημεῖον διὰ τῆς ῥάβδου ἐποίησεν, ἐρωτᾷ Δαβὶδ τὴν κτίσιν, Τί σοι ἐστὶ, θάλασσα, ὅτι ἔφυγες, καὶ σοὶ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; (Ψαλ. ριγ'. ε'.) τί γέγονε, φησὶν, ὅτι μετεβλήθησαν ὅροι φύσεως; διὰ τί ἐσαλεύθησαν θεμέλιοι τῆς δημιουργίας; τί σοι ἐστὶ, θάλασσα, ὅτι ἔφυγες; τοσοῦτοι αἰῶνες, καὶ ἐπὶ τοῦ σχήματος ἔμεινας. οὐδέποτε οἱ ῥέοντες ποταμοὶ ἐξέωσάν σε ἐκ τοῦ πελάγους· οὐχ ὑπεχώρησας τοσούτοις ῥεύμασι, καὶ νῦν τίνα ἰδοῦσα ᾐδέσθης; τί ὑπεχώρησας; τί ἔλυσας τὸν ὅρον τοῦ νομοθέτου, τοῦ κελεύσαντός σοι, Μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ; (Ἰωβ. λη'. ια'.) Ἔθετο τῇ θαλάσσῃ νόμον αἰώνιον, καὶ οὐχ ὑπερβήσεται. (Ἱερ. ε'. κβ'.) Εἰ οὕτω πάντοτε ἔλαβες νόμον, τί ἐξέχεις τὸ ῥεῦμα; τί σοι ἐστί; τί γὰρ γέγονε; τί εἶδες; τί ἔπαθες; τί σοι ἐστὶ, θάλασσα, ὅτι ἔφυγες; καὶ σοὶ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; τὰ ὄρη, ὅτι ἐσκιρτήσατε, ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων; ἠρώτησε, καὶ ἡ ἄψυχος ὑπακούει καὶ ἀποκρίνεται· Ἀπὸ προσώπου Κυρίου. ποίου; ποῖον γὰρ εἶδες πρόσωπον ἐν τῇ θαλάττῃ; ποῖον εἶδες πρόσωπον ἐν τῇ πέτρᾳ; Μωϋσῆν εἶδες καὶ ῥάβδον· πρόσωπον οὐκ ἐφάνη. οὐδὲ εἶπεν ἡ γραφὴ κατὰ τὸ σιωπηθὲς, ὅτι ὤφθη Κύριος ἐν τῇ θαλάσσῃ, καὶ εἶδον οἱ Αἰγύπτιοι, καὶ ἐφοβήθησαν· ἀλλὰ Μωϋσῆς ἦν κατέχων ῥάβδον, ἡ δὲ κτίσις λέγει· Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου Κυρίου. ποίου; τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων. πρόσωπον Κυρίου καλεῖ τὴν ῥάβδον, ἐπειδὴ εἰκόνα ἔφερε τοῦ σταυρωθέντος. ὅτι δὲ ἡ τοῦ Μωϋσέως ῥάβδος εἰκών ἐστι τοῦ σωτῆρος ἡμῶν, ἄκουε τοῦ προφήτου Δαβὶδ ἐν ἑτέρῳ τόπῳ διαγράφοντος· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. (Ψαλ. ρθ'. β'.) ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιὼν, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. ὁρᾷς ὅτι ἡ ῥάβδος ἐκείνη εἰκὼν ἦν τῆς ῥάβδου τῆς δυνάμεως; ῥάβδον δυνάμεως ὅταν εἴπῃ, ῥάβδον βασιλείας λέγει σύνθημα. Ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. (Ψαλ. μδ'. ζ'.) ῥάβδον δυνάμεως, τουτέστι, βασιλείαν δυνατήν. δυνατὴν διὰ τί; ὅτι διὰ τῶν ἐναντίων τὰ ἐναντία κατορθοῖ, διὰ πάθους ἀπάθειαν ἡμῖν χαρίζεται, διὰ θανάτου ἀθανασίαν δωρεῖται, διὰ σταυροῦ σταυροῖ τοὺς δαίμονας, διὰ τῆς ῥάβδου φιλανθρώπως ἐθριάμβευσε τὴν τῶν δαιμόνων φάλαγγα. Εἰκότως οὖν καὶ ῥάβδον δυνάμεως, οὐκ ἀπὸ τῶν ἀκολούθων νικώσης, ἀλλ' ἀπὸ τῶν ἐναντίων τῶν ἐχθρῶν περιγινομένης. ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων. ὢ τῆς ἀγνωμοσύνης τῶν αἱρετικῶν. ἡ πέτρα τὴν ῥάβδον θεασαμένη ᾐδέσθη, εἰκόνα σταυροῦ εἶδεν ἡ πέτρα, καὶ ᾐδέσθη· αἱρετικοὶ αὐτὸν τὸν σωτῆρα εἶδον, καὶ οὐκ ἠρυθρίασαν. ἡ πέτρα θεασαμένη σταυροῦ εἰκόνα, καὶ ἃ μὴ εἶχε, προήνεγκεν· αἱρετικοὶ εἶδον τὸν σωτῆρα, καὶ ἃ παρέλαβον, ἠρνήσαντο. ἐκείνη προσφέρει, ἃ μὴ εἶχεν· οὗτοι ἀρνοῦνται ἃ ἔλαβον· παρέλαβον πίστιν, καὶ πίστιν ἠρνήσαντο· παρέλαβον φώτισμα, καὶ τοῦ φωτίσματος τὴν δύναμιν ἠρνήσαντο.

Ἀλλ' ἔλθωμεν ἐπὶ τὸν ἰατρὸν τῶν ἡμετέρων ψυχῶν, τὸν καὶ λόγῳ ἡμᾶς παιδεύοντα, καὶ τοῖς λειψάνοις τοῖς ἑαυτοῦ τὴν πόλιν τὴν ἡμετέραν τειχίζοντα· Ἰωάννην λέγω τὸν Βαπτιστὴν, λούσαντα ἡμᾶς σήμερον τῷ λόγῳ τῆς μετανοίας· ἴδωμεν αὐτὸν, δι' ὧν πρὸς τὸν σωτῆρα ἀποστέλλει παιδεύοντα ἡμᾶς τὴν ἀλήθειαν. σήμερον γὰρ, ὡς ὑπανεγνώσθη ταῖς ὑμετέραις ἀκοαῖς, ἀπέστειλεν Ἰωάννης ὁ Βαπτιστὴς πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν λέγων· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; (Ματθ. ια'. γ'.) δοκεῖ πως ὑπεναντίον εἶναι τῇ τοῦ προφήτου ἐπαγγελίᾳ ἡ ἀμφιβολία. τὸ γὰρ, σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν, κατὰ

τὸ

τὸ φαινόμενον ἐν τῇ λέξει οὐδέπω πεπιστευκότος, ἀλλ' ἐπιζητοῦντός ἐστι. ἐπερωτάσθω
τοίνυν ὁ προφήτης καὶ πρόδρομος· εἰ ἀκμὴν ἐπιζητεῖς, πῶς ἐμαρτύρεις; διὰ τί ἐπὶ τοῦ
Ἰωαν. α. κθ. βαπτίσματος ἔλεγες, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου; διὰ τί ἔλε-
Ἰωαν. α. κϛ. γες, Μέσος ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε; Καὶ ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων
Ἰωαν. γ. λα. ἐστί· πῶς δὲ αὐτῷ προσεφώνεις τῷ σωτῆρι λέγων, Κύριε, ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ
Ματθ. γ. ιδ. βαπτισθῆναι; οὐ σὴ ἐστὶν ἡ φωνή, Κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ' ὁ πέμψας με βαπτί-
Ἰωαν. α. λγ. ζειν ἐν ὕδατι, αὐτός μοι εἶπεν, ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστεράν, καὶ
μένον ἐπ' αὐτόν, οὗτός ἐστι; εἰ καὶ ἡ μαρτυρία σε τοῦ πατρὸς ἐβεβαίωσε, καὶ ἡ ὄψις ἐπεί-
σε, καὶ σὺ ἐκήρυξας, καὶ οἱ ἀκούσαντες ἐπίστευσαν, διὰ τί ἀποθέμενος τὴν προτέραν γνῶσιν,
ἀγνοίας ἀναλαμβάνεις σχῆμα; οὐκ ἀγνοεῖ ὁ προφήτης, οὐκ ἀγνοεῖ τὸν δεσπότην, ὃν ἐν
τῇ γαστρὶ προσεκύνησεν· οὐκ ἀγνοεῖ τὸν εὐεργέτην, ὃν καὶ διὰ τοῦ σκιρτήματος ἐδήλωσεν. οὐ
μάχεται αὐτοῦ ταῖς φωναῖς, σκοπεῖ δὲ τῶν μαθητῶν τὰς γνώμας. ἐπειδὴ γὰρ ἐν τῇ φυλακῇ
Ματθ. ια. β. ἦν (οὕτω γὰρ γέγραπται, ὅτι Ἰωάννης ὑπάρχων ἐν τῇ φυλακῇ, ἀπέστειλε πρὸς τὸν Ἰη-
σοῦν) ἐπειδὴ ἐν τῇ φυλακῇ ἦν ὑπὸ Ἡρώδου βεβλημένος διὰ τὸν ἔλεγχον τῆς ἀσελγείας,
ὡς δὲ προφήτης εἶδεν, ὅτι τὰ τῶν ἀγώνων εἰς τέλος προῆλθε, καὶ μέλλει λοιπὸν ἐκδημεῖν
ἐκ τοῦ κόσμου, καὶ πρὸς τὸν ἑαυτοῦ βραβευτὴν τρέχειν, πολὺς δὲ αὐτὸν περιέσχεν ὅμιλος τῶν
μαθητῶν, καὶ πολλοὶ αὐτὸν περιεστοίχιζον τῶν Ἰουδαίων, βουληθεὶς μὴ καταλιπεῖν τὴν ἀγέ-
λην ἔρημον, καὶ τοὺς ὑπ' αὐτοῦ μαθητευομένους βουληθεὶς παραστῆσαι τῷ ἀληθινῷ διδασκά-
λῳ, οὐκ ἀποστέλλει πρὸς αὐτὸν μετὰ τῆς πεπαρρησιασμένης αὐτοῦ πίστεως καὶ ὁμολογίας. οὐκ
εἶπε λοιπόν, ἐπειδὴ ἐκδημῶ τοῦ σώματος, προσχωρήσατε τῷ Χριστῷ· ἱκανὸς γάρ ἐστιν ὁ
διδάσκαλος (μαρτυρία γὰρ οἰκεία εἰς ὑποψίαν ἔρχεται) ἀλλ' ὅρα τὸ θαυμαστόν, ὡς
προφήτης, ἵνα καὶ τὴν ὑποψίαν φύγῃ τῆς μαρτυρίας, καὶ τὴν ἐνέργειαν αὐτὴν παραστή- χ. ἐναρ.
σῃ τῆς ἀληθείας· ἀποστέλλει τοὺς μαθητὰς πρὸς τὸν Ἰησοῦν, ἐννοήσας, μᾶλλον δὲ ὡς προφή-
της θεασάμενος, ὅτι κατὰ τὸν καιρόν, ὃν ἀπήρχοντο οἱ μαθηταί, εὑρίσκετο ὁ σωτὴρ θαύμα-
τα ποιῶν· ἵνα τῶν θαυμάτων γενόμενοι θεαταί, ὃ μὴ ῥήματι θεωρήσωσι, τῇ δὲ ἀληθείᾳ τὸν σωτῆρα
τοῦ κόσμου παραλάβωσιν. ἄλλο γάρ ἐστι μαρτυρῆσαι λόγῳ, ἄλλο ἐστὶ παραστῆσαι τῶν πραγ-
μάτων τὴν ἀλήθειαν. πορευθέντες, φησίν, ἐρωτήσατε αὐτόν, καὶ εἴπατε· Ἰωάννης λέγει ὁ Βα-
πτιστής, αἰτιώμενος, ὡς οὐκ ἐπιλαθόμενον τῶν ἐν τῷ βαπτίσματι, οἶδα ὃν ἐβάπτισα, λυτρω-
τὴν τοῦ κόσμου ἐγὼ ὁ λυτρώσεως δεόμενος· Ἰωάννης λέγει ὁ Βαπτιστής, σὺ εἶ ὁ ἐρχόμενος,
ἢ ἕτερον προσδοκῶμεν; ἦλθον οἱ μαθηταί, καὶ περιεπάτησαν τῇ θύρᾳ τῆς ἀληθείας. ἀ-
Λουκ. ζ. κ. πῆλθον μαθεῖν, καὶ εὑρέθη τὰ θαύματα διδάσκοντα. λέγει γὰρ ὁ εὐαγγελιστής· Ἐν ἐκείνῃ τῇ
ὥρᾳ ὁ Ἰησοῦς πολλὰς νόσους ἐθεράπευσε, καὶ πολλὰ δαιμόνια ἐξέβαλε, καὶ πολλὰς θεραπείας
ἐπετέλεσεν. ἐν ἐκείνῃ τῇ ὥρᾳ, ποίᾳ; καθ' ἣν ἀπέστειλεν Ἰωάννης. ὡς γὰρ προφήτης, ἥρ-
μοσε τῷ καιρῷ τῶν θαυμάτων τὴν ἀποστολὴν τῶν μαθητῶν. εἶτα οἱ ἀποσταλέντες φρά-
ζουσι τὴν βουλὴν τοῦ ἀποστείλαντος, μᾶλλον δὲ αὐτῇ τῇ λέξει λέγουσιν· Ἰωάννης ὁ Βαπτιστὴς
ἀπέστειλεν ἡμᾶς λέγων, σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; ὁ σωτὴρ λέγει, πορευ-
θέντες εἴπατε Ἰωάννῃ ἃ βλέπετε καὶ ἀκούετε. οὐκ Ἰωάννῃ πέμπων ταῦτά φησιν, ἀλλ'
ἐκείνων διορθοῦται τὴν διάνοιαν. πορευθέντες εἴπατε Ἰωάννῃ ἃ βλέπετε καὶ ἀκούετε. οὐ
χρεία λόγου· ὀφθαλμῶν χρεία μαρτύρων καὶ γλώσσης μαρτυρούσης τὰ τῇ ὄψει θεαθέντα.
τί δὲ εἴπωμεν; τυφλοὶ ἀναβλέπουσι, καὶ χωλοὶ περιπατοῦσι. εἴπατε ταῦτα, εἴπατε
ἐκείνῳ τῇ γλώσσῃ, εἴπατε ἑαυτοῖς τῇ γνώμῃ. ἀπαγγείλατε τῷ μὴ δεομένῳ διὰ λόγου,
ἀπαγγείλατε ἑαυτοῖς ἃ οἴδατε διὰ τῶν πραγμάτων. τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περι-
πατοῦσι, λεπροὶ καθαρίζονται, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται· καὶ μακάριος ὃς
ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. πρόσεχε ἀκριβῶς. οὐκ εἶπε, μακάριός ἐστιν Ἰωάννης,

ἐὰν μὴ σκανδαλισθῇ (οὐ γὰρ συνῄδει τοιαύτην τινὰ μεμεριμνημένην ἔννοιαν τοῦ προφήτου) ἀλλὰ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοὶ, ἀντὶ τοῦ, μακάριοί ἐστε ὑμεῖς, ἐὰν μὴ σκανδαλισθῆτε. τί ἐστι δὲ, μὴ σκανδαλισθῆτε; μακάριοί ἐστε, φησὶν, ἐὰν μὴ πρὸς δὲ σῶμα ἴδητε τὸ φαινόμενον, καὶ ἀπ' αὐτοῦ ἀρνήσησθε τὴν θεότητα, ἀλλ' ἀπὸ τῶν θαυμάτων μάθητε τὸν ἐνεργοῦντα ἐν τῷ σώματι Θεόν. ἐνεργοῦντα δὲ λέγει Θεὸν ἐν τῷ σώματι, οὐχ ὡς ἐνήργησεν ἐν προφήταις, οὐδ' ὡς ἐνήργησεν ἐν ἀποστόλοις, ἀλλ' ἐνεργοῦντα, ὡς ἐνοικοῦντα καὶ συναμμένον καὶ ἀναλαμβάνοντα εἰς ἑαυτὸν τὴν πλάσιν τοῦ Ἀδὰμ, τουτέστι, τὴν ἀνθρωπότητα.

Τυφλοὶ ἀναβλέπουσι. καὶ τί πρὸς τὴν ἐρώτησιν, σὺ εἶ ὁ ἐρχόμενος; μὴ γὰρ εἶπον, τί ἐργάζῃ; τί ποιεῖς; ποῖα σημεῖα γνωρίζεις; ἐρωτώμενος, σὺ εἶ ὁ ἐρχόμενος, ἄλλο δείκνυσιν· ὅτι τοῦ ἐρχομένου σημεῖα ταῦτά ἐστι. καὶ πόθεν τοῦτο δῆλον, ὅτι τοῦ ἐρχομένου σημεῖα ταῦτά ἐστιν; ἐπειδὴ ἐμοὶ ἀπιστοῦσι πολλάκις οἱ πρὸς δὲ σῶμα βλέποντες καὶ σκανδαλιζόμενοι, ἐρωτήσωσιν Ἡσαΐαν τὸν περὶ τῶν θαυμάτων τούτων ταῦτα τὰ θαύματα κηρύττοντα. ἄκουε γὰρ τί φησιν Ἡσαΐας· Ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα· Ἡσ. λε. γ. παρακλήθητε οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ· ἰσχύσατε, μὴ φοβεῖσθε. ἰδοὺ ὁ Θεὸς ἡμῶν, ἰδοὺ Κύριος μετὰ ἰσχύος ἔρχεται. καὶ ὁ ἐρχόμενος τί ποιεῖ; ἀνοίγει τυφλῶν ὀφθαλμούς. τότε ἀνοιχθήσονται, φησὶν, ὀφθαλμοὶ τυφλῶν. προφήτης ἀπαγγέλλεται Ἰωάννῃ, τυφλοὶ ἀναβλέπουσι· τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν. παραθεὶς τῇ εὐαγγελικῇ λέξει λέξιν προφητικὴν, ἵνα ἴδῃς τὸν προφήτην Ἰωάννην καὶ πρόδρομον συνῳδὰ φθεγγόμενον τῷ Ἡσαΐᾳ. τότε ἀνοιχθήσονται) ὀφθαλμοὶ τυφλῶν, τυφλοὶ ἀναβλέπουσι· κωφοὶ ἀκούουσι, καὶ ὦτα κωφῶν ἀκούσει) χωλοὶ περιπατοῦσι, τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων. καὶ πότε ἐποίησε τρανὴν γλῶσσαν μογιλάλων; προσηνέχθη ποτὲ τῷ Κυρίῳ ἄνθρωπος Μαρκ. ζ. λβ. δαιμονιζόμενος, κωφὸς καὶ ἄλαλος· καὶ τί γέγονεν; ἀπολαβὼν αὐτὸν κατ' ἰδίαν καὶ πτύσας, ἥψατο τῆς γλώσσης αὐτοῦ. διὰ τί ἔπτυσεν, ὁ λόγῳ πάντα ποιῶν; τρεῖς ἐχρῆν) πτύελον, τῷ ἐργασάμενος τούτῳ. εὑρίσκεις αὐτὸν ἐπὶ τριῶν θαυμάτων χρησάμενον τούτῳ τῷ φαρμάκῳ· ἐπὶ τοῦ ἐκ γενετῆς τυφλοῦ, ὅτι πτύσας πηλὸν ἐποίησε· καὶ ἐπὶ ἑτέρου τυφλοῦ, ἔπτυσεν εἰς τὰ ὄμματα αὐτοῦ· καὶ ἐπὶ τοῦ κωφοῦ καὶ μογιλάλου, ἔπτυσεν εἰς τὰ ὦτα αὐτοῦ. τρίτον ἐχρήσατο τῷ φαρμάκῳ τούτῳ, οὐ δεόμενος αὐτοῦ, ἀλλὰ πρᾶγμα μυστικὸν ὑποδεικνύμενος. ἐπειδὴ ἀπ' ἀρχῆς ὁ διάβολος ταύτας τὰς αἰσθήσεις ἔβλαψε. πιστευσαμένη γὰρ ἡ γυνὴ δὲ [illegible] ἐπὶ χειλῶν, πιστευσαμένη δὲ ὀφθαλμῷ, καὶ ἀκούσασα ἐκ τοῦ ὄφεως. ποίῳ γὰρ μέρει; τῇ ἀκοῇ. ἐπειδὴ ὁ ἰὸς τοῦ ὄφεως διὰ τῆς ἀκοῆς ἔδραμε, καὶ διὰ τῆς ἀκοῆς πᾶσαν ἐπλήρωσε τὴν διάνοιαν τῆς ψυχῆς, καὶ ὅλος ἰοῦ ἐπληρώθη ὁ ἄνθρωπος, ὡς μὴ μόνον ἔχειν, ἀλλὰ καὶ διδόναι· ἐπειδὴ ἐπληρώθησαν ἰοῦ, [illegible] καὶ ἰὸν φέροντες (ἰὸς γὰρ ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν) μετέδωκεν ἡ τοῦ ὄφεως πονηρία καὶ τῷ ἀνθρώπῳ, καὶ ἀπὸ τοῦ ἀνθρώπου δέδωκεν εἰς ἄλλους· Ψαλμ. ρλθ. γ. ἐπεὶ τοίνυν ἰὸς ὄφεως, πτύελόν ἐστιν ὄφεως, εἰσάγει δὲ ἀλεξιτήριον ἀντιφάρμακον, τὸν ἰὸν πτύελον. λέγεται γὰρ φυσικῶς, ὅτι ὥσπερ ἐστὶν ἰὸς ὄφεως ἀνθρώπῳ, τοῦτο τῷ ὄφει πτύελος ἀνθρώπου. ἀλλ' ὁ μὲν ἐμὸς πτύελος τὸν αἰσθητὸν ὄφιν [illegible], ὁ δὲ τοῦ δεσπότου τὸν νοητόν. πτύει εἰς τὰ ὦτα, ἵνα τὸν ἰὸν ἀποπλύνῃ· καὶ ἀνοίγει τὴν γλῶσσαν, λέγων, ἐφφαθὰ, ὅ ἐστι, διανοίχθητι. ὃ γὰρ ἀπέκλεισεν ὁ διάβολος τῇ παραβάσει, ἀνοίξει ὁ σωτὴρ τῇ φιλανθρωπίᾳ. τὸν δὲ τυφλὸν, οὐ τὸν ἐκ γενετῆς, ἀλλ' ἕτερον παραλαβὼν ἔξω τῆς κώμης, καὶ θεωρήσας, φησὶν, εἰς τὸν οὐρανὸν ἐστέναξε· καὶ στενάξας, προσέπτυσε τοῖς ὄμμασι τοῦ τυφλοῦ. διὰ τί στενάζει; καὶ διὰ τί προσπτύει; διὰ τί μὴ καλεῖ ὡς δεσπότης; διὰ τί μὴ ἰατρεύει ὡς Θεός; διὰ τί ἀναβλέπει εἰς τὸν οὐρανὸν, καὶ στενάζει; οὐκ ἀπὸ τῆς θεότητος οὕτω φθέγγεται, ἀλλὰ τὸ σχῆμα καὶ τὸ φύραμα τὸν Ἀδὰμ δείκνυσιν. ἐπειδὴ γὰρ τὸν Ἀδὰμ ἐνεδύσατο τὸ πρό-

[illegible] τοῦ ἰοῦ πτύελον

α. Κορ. ιε. με. σώματι, καὶ ἐκλήθη Ἀδὰμ διὰ τὸ ἀναλαβεῖν πλάσμα τοῦ Ἀδάμ. Ὁ γὰρ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν, ὁ δεύτερος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. ἀναβλέψας ἐστέναξεν ἐκ προσώπου τῆς ἀνθρωπότητος, μονονουχὶ διὰ τοῦ στεναγμοῦ κηρύττων τὴν βίαν γρ. φωνῶν τοῦ διαβόλου, καὶ λέγων· ἰδοὺ τὸ πλάσμα πῶς ὕβρισται; ἰδοὺ τὰ ὄργανα τὰ ὑπ᾿ ἐμοῦ πλασθέντα πῶς ἡ τοῦ διαβόλου τυραννὶς ἀπέπνιξεν; ἐστέναξε συμπαθῶν τῇ ἀνθρωπότητι οὕτως ὑπὸ τοῦ διαβόλου πεπεδημένῃ, οὕτως ὑπὸ τῆς τυραννίδος τοῦ διαβόλου κατεχομένῃ. ἐστέναξεν, ἔδειξε τὴν συμπάθειαν. λοιπὸν δείκνυσι καὶ τὴν ἐνέργειαν. καὶ προσπτύσας τοῖς ὄμμασιν αὐτοῦ, καὶ ἐπιτίθησι τὰς χεῖρας. προσέπτυσεν, ἵν᾿ ἀποπλύνῃ τὸν ἰόν· ἐπιτίθησι τὰς χεῖρας, ἵνα δείξῃ τὸν πλάστην. ἄλλως γὰρ οὐ γέγονε πλάσις, ἢ χειρὸς Θεοῦ ἐπικειμένης, χειρὸς δὲ ποιητῆς. Ψαλ. ρλη. ε. Καὶ τούτῳ τῷ λόγῳ μαρτυρεῖ Δαβὶδ λέγων· Σύ ἔπλασάς με, καὶ ἔθηκας ἐπ᾿ ἐμὲ τὴν χεῖρά σου. ἐπέθηκεν αὐτῷ τὰς χεῖρας, καὶ ἀνέβλεψε, καὶ ἐρωτᾷ αὐτὸν ὁ σωτήρ· τί βλέπεις; ὁ δὲ λέγει, βλέπω τοὺς ἀνθρώπους ὡς δένδρα περιπατοῦντας. οὔπω ἦν καθαρῶς ἀναβλέψας, ἀλλ᾿ ἠρέμα αὐγὴν ἔβλεπεν. ἐπέθηκεν ἐκ δευτέρου τὰς χεῖρας ὁ Ἰησοῦς, καὶ ἀνέβλεψε καθαρῶς. ἦ τοίνυν γὰρ ἡ δύναμις ἐκ πρώτης προσβολῆς ὅλην τὴν ἀχλὺν διασκεδάσαι; ἀλλὰ τί ἡ πρώτη ἐπίθεσις τῆς χειρὸς ἀμαυρότερον ἔδειξε τὸ φῶς, ἡ δευτέρα δὲ καθαρὸν ἀπέδωκεν; ἵνα ἑρμηνευθῇ τὸ μυστήριον· ὅτι ἡ πρώτη πλάσις οὐκ ἴσχυσεν ἰδεῖν καθαρῶς τὴν ἀλήθειαν, οὐ παρὰ τὴν ἀσθένειαν τοῦ ποιητοῦ, ἀλλὰ παρὰ τὴν ἀμαυρότητα τῆς διανοίας· ἡ δὲ δευτέρα ἀναγέννησις ἀπέδωκεν αὐτῷ καθαρῶς τὸ ὁρᾶν. διὰ τοῦτο ὁ Παῦλος Ῥωμ. α. κα. τῇ ἐσκοτισμένῃ ταύτῃ πλάσει φησί· Σκοτίσθητε διὰ τὴν ἀσύνετον ὑμῶν καρδίαν. φάσκοντες γὰρ εἶναι σοφοὶ, ἐμωράνθησαν. ἐσκοτίσθη οὐχ ἡ πλάσις, ἀλλ᾿ ἡ ἀσύνετος αὐτῶν καρδία. ὁ δὲ μακάριος Δαβὶδ τὸ σκεῦος τῆς γνώσεως παρασκευάζων τῷ θείῳ λόγῳ, λέγει· Ψαλ. λγ. ϛ. Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε. ἐπέθηκε τὰς χεῖρας, ἀνέβλεψε καὶ λέγει· βλέπω, φησὶ, τοὺς ἀνθρώπους ὡς δένδρα περιπατοῦντας, διὰ τὴν ζωτικὴν δύναμιν, ἐπειδὴ κινούμενόν ἐστι καὶ μεταφερόμενον τὸ πλάσμα. διὰ τί ὡς δένδρα βλέπει; ἐπειδὴ καὶ τὸν καιρὸν προλαμβάνει, καὶ ἀποβάλλει καὶ πρόσκαιρον ἔχει τὴν χρῆσιν. μετὰ ταῦτα οὐ βλέπει ὡς δένδρα, ἀλλὰ βλέπει ἀνθρώπους. τὸ πρῶτον πλάσμα ἔοικε φυτῷ πεφυτευμένῳ καὶ διασαλευομένῳ· ἡ δὲ δευτέρα ἀναγέννησις τὸν ἄνθρωπον δείκνυσι καθαρὸν, τὴν αὐτὴν εἰκόνα. εἰκὼν δὲ Θεοῦ θανάτῳ οὐχ ὑποπίπτει. εἰ γὰρ ἀποθνήσκει ἡ εἰκὼν, ὑβρίζεται τὸ πρωτότυπον. οὕτως ἔδειξε δένδρα διὰ πάντων τὴν ἐνέργειαν ἀσφαλίζουσαι.

Καὶ εἰκότως πρὸς τὴν ἐρωτήσασαν πρᾶγμα ταῦτα ἀποκρίνεται τῇ ἀληθείᾳ· Εἴπατε Ἰωάννῃ ἃ βλέπετε καὶ ἀκούετε· τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, νεκροὶ ἐγείρονται, πτωχοὶ Ἡσ. ξα. α. εὐαγγελίζονται. ποῦ εὐαγγελίζονται πτωχοί; ἐν οἷς τοῦτο ἐσήμανεν Ἡσαΐας· Πνεῦμα Κυρίου ἐπ᾿ ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με. οὐκ ἀμφιβολίας τοίνυν ἡ ἐρώτησις, ἀλλὰ βεβαιοῦντος τοὺς μαθητὰς, καὶ διεσχισμένην ἔχοντας τὴν καρδίαν μὴ μερίζεσθαι περὶ τὴν ἀοριστίαν, ἀλλ᾿ εἰδέναι τὸν ἐλθόντα, καὶ ὅτι ἦλθεν. ἀλλὰ Ἀμβ. γ. γ. ζητεῖς, τίς ὁ ἐλθών; ζητεῖς πόθεν ἦλθεν; ἐρωτήσωμεν. λέγει ὁ προφήτης Ἀμβακούμ· Ὁ Θεὸς ἐκ Θαιμὰν ἥξει. τί ἐστι Θαιμάν; κατὰ τὴν τῶν Σύρων γλῶτταν καὶ Ἑβραΐδα ἡ μεσημβρία λέγεται. ἐπεὶ οὖν ᾔδει ὁ προφήτης, ὡς προφήτης πνεύματι ἁγίῳ πεφωτισμένος, ὅτι ἐκ τῶν μεσημβρινῶν τόπων, τουτέστιν, ἐκ τῆς Παλαιστίνης μέλλει ὁ σωτὴρ ἐπιφαίνεσθαι τῷ κόσμῳ, λέγει· ὁ Θεὸς ἐκ Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος. ποίου ὄρους κατασκίου; ὄρος καλεῖ τὴν Σιὼν κατάσκιον, ἐπειδὴ τῇ θείᾳ δυνάμει ἐπεσκιάζετο καὶ τὸ θαυμαστὸν παράκλητον. ἐντεῦθεν γὰρ ἀνακύπτει μέγα ζήτημα μεγάλης δεόμενον λύσεως. ὁ μακάριος Ἀμβακοὺμ ἑρμηνεύων τὸν ἐλθόντα, καὶ τίς ὁ ἐρχόμενος, καὶ ὅτι Θεός ἐστι, καὶ Θεὸς οὐ πάλαι γνωριζόμενος, ἀλλ᾿ ὢν μὲν πρὸ αἰώνων, ἐπὶ τέλει δὲ φανερούμενος τῶν αἰώνων,

ἐξεπλάγη

ἐξίσταται ὁ προφήτης. ἐδέξατο πνεύματος ἁγίου ἐνέργειαν καὶ ἐπὶ τῷ προσκυνουμένῳ τὸν Θεὸν, νομίζων τὸν ὑπὸ Μωϋσέως κηρυττόμενον εἶναι Θεὸν, καὶ οὐκ εἶναι τὸν ἐκ Θεοῦ Θεὸν (ἁπλῆ γὰρ ἔτι δὴ πίστις ἐν ἀρχῇ· Ἄκουε Ἰσραὴλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι) τῇ λέξει μετρήσαντες τὸ προφήτου τὸ ῥῆμα, ὑπὸ διαλέκτου ὡς Θεὸν προσκυνοῦντες, οὐ μὴν ὁμολογοῦντες ἕτερον Θεὸν υἱὸν Θεοῦ. Πῶς οὖν γνωρίζεται διὰ προφήτου; ὅτι τοῦ προσκυνουμένου Θεοῦ ἐστι Θεὸς λόγος, καὶ μέλλει φανεροῦσθαι τῇ οἰκουμένῃ καὶ ἐπιφαίνεσθαι τῷ κόσμῳ, οὐκ ἐν τῷ γεγενῆσθαι γινόμενος, ἀλλ' ὑπάρχων ἐν τῷ πρὸ τῶν αἰώνων, ἐν δὲ τῇ παρουσίᾳ γνωριζόμενος. Πῶς οὖν φησιν ὁ προφήτης; ἐπὶ τῷ ἤκουσα καὶ ἐξενίσθην, ὅτι Θεὸς γνωρίζεται ἐκ Θεοῦ, νέον κήρυγμα, νέος λόγος, νέος τῇ ἀκροάσει, οὐ τῇ φύσει (οὐκ ἔστι γὰρ ἐν σοὶ Θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ) φόβου πληρωθεὶς τὴν καρδίαν, ἄρχεται διὰ τῆς ἁγίας ᾠδῆς μελῳδεῖν τὴν θείαν παρουσίαν· Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. Αμβ. γ. α. Εἰσακήκοας τὴν ἀκοήν μου; περὶ γὰρ τούτου οὐκ ἀκήκοας; οὐκ ἐγώ εἰμι ὁ λαλήσας ἐν τῷ ὄρει Σινᾶ; οὐ διὰ Μωϋσέως ἐλάλησα; οὐ διὰ τῶν προφητῶν ἐκήρυξα τὴν περὶ σοῦ; οὐ Δαβὶδ ἐκήρυξεν; ὁ γὰρ Ἀμβακοὺμ μετὰ πολλὰς γενεὰς τοῦ Δαβίδ. μετὰ γὰρ δεκατέσσαρας γενεὰς οὗτός ἐστιν ὁ ἐν Βαβυλῶνι προελθών. Ἀπὸ γὰρ Δαβὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος γενεαὶ δεκατέσσαρες, ὡς φησι τὸ εὐαγγέλιον. Ματθ. α. ς. εἰ τοίνυν ὁ προφήτης Ἀμβακοὺμ κατὰ τὸν χρόνον ἦν τῆς αἰχμαλωσίας Βαβυλῶνος, καὶ Μωϋσῆς καὶ Σαμουὴλ καὶ Ἡσαΐας καὶ Ἱερεμίας καὶ Ἠλίας καὶ Ἐλισσαῖος, καὶ τὸ ἀκροατήριον τῶν προφητῶν πάντων ἀεὶ τὸν Θεὸν ἐκήρυξαν, Κύριε ὁ Θεὸς Ἀβραὰμ, Κύριε ὁ Θεὸς Ἰσαὰκ, Κύριε ὁ Θεὸς Ἰακὼβ, ἐπάκουσόν μου σήμερον ἐν πυρί· Γ. Βασ. ιη. λς. ἑκάστου τῶν προφητῶν Θεὸν ἐκήρυττον, καὶ ἀκοὴ διεδίδοτο, σὺ προφῆτα, ὁ μετὰ πολλοὺς γενόμενος προφήτας, διὰ τί τὸ πάλαι τετελεσμένον τῇ συνηθείᾳ, τὸ ἤδη κατηχούμενον τῇ συνηθείᾳ, τὸ ἤδη κατηχούμενον τῇ γνώμῃ, τὸ ἤδη προλάμπον τῇ συνειδήσει τῆς πίστεως, διὰ τί ὡς ξένον ἑρμηνεύεις, καὶ μετὰ θαύματος(?) λέγεις, Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην; πόθεν ἀκήκοας; τίς σοι ἀπήγγειλεν, ὦ προφῆτα; οὐ καλῶς ἐξενίσθης, οὐδὲ καλῶς ἐφοβήθης. ὁ γὰρ κηρυττόμενος, οὐ φόβον ἔχει, ἀλλ' ἀληθείας χαρὰν ἀπεργάζεται, εὐφροσύνης πληροῖ. Ἀλλ' ἐγώ, φησιν, οἶδα τί ἤκουσα. πόθεν ἤκουσας; παρὰ τοῦ λαλοῦντος ἐν ἐμοὶ Θεοῦ. Θεὸς γὰρ προφήταις οὐκ ἔξωθεν λαλεῖ, ἀλλ' ἔσωθεν ἀκούεται ἦχος προφήτου, καὶ ἔνδοθεν ἐξηχεῖται. πόθεν τοῦτο; αὐτὸς μαρτυρεῖ ὁ Ἀμβακούμ· Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, καὶ ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός. Αμβ. β. α. παρακαλῶ δὲ, ὅτι ἐνέπεσεν εἰς τὴν ὑπόθεσιν ταύτην, εὐγνωμόνως ὑμᾶς ἀκοῦσαι καὶ μακροθύμως, ἵνα μὴ παρέλθῃ τὸ νόημα ἁπλῶς, γυμνούμενον τῆς οἰκείας θεωρίας. ἀναγκαῖον γὰρ ζητῆσαι, ἀπὸ ποίας ἀφορμῆς εἰς ἀνάγκην κατέστη ὁ τοῦ Θεοῦ λόγος· ἑρμηνευέτω ὁ προφήτης τὸν σωτῆρα. ἢ ποίᾳ ὑποθέσει; οὐ γὰρ λαλεῖ ὁ Θεὸς ἀρχῆς μὴ ὑποκειμένου πράγματος. καὶ ἀπαιτοῦντος Θεοῦ τὴν διδασκαλίαν, ὁ προφήτης Ἀμβακοὺμ, οὐδὲν ἔχων περὶ τὸ προκείμενον, οὔτε ἵνα τινὰ τὸν σωτῆρα θεολογήσῃ, ἀλλὰ περὶ τῆς ἀνωμαλίας τῶν πραγμάτων ἐντυγχάνων τῷ Θεῷ, καὶ διδάσκων ὅτι ἀνωμαλίας ὁ βίος γέμει, καὶ ἀδικία δυναστεύει, καὶ πλεονεξία τυραννεῖ, ἐντυγχάνει τῷ Θεῷ· Κύριε, ἵνα τί μοι ἔδειξας κόπους καὶ πόνους, ἐπιβλέπειν ἐπὶ ταλαιπωρίαις ἀνθρώπων; Αμβ. α. γ. ὡς εἴ τις λέγοι· διὰ τί ἐγεννήθην, ἵνα μάρτυς γένωμαι τῶν κακῶν τοῦ κόσμου; τί γὰρ εἶδες κακὸν, ὦ προφῆτα; ἐνώπιόν μου γέγονε κρίσις, ἀλλὰ τοῦτο(?) οὐκ ἠδύναντο οὐδὲ προφήτου ὀφθαλμούς. λέγει πρὸς αὐτὸν ὁ Θεός, θαυμάζεις ὅτι σε οὐκ ἐθηρίωσαν(?); ἐνώπιον ἐμοῦ λαμβάνουσιν, καὶ οὐκ ἀδικοῦνται(?). ἐνώπιόν μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει. Ὁ Μιχ. ζ. γ. ἄρχων αἰτεῖ, καὶ ὁ κριτὴς λόγους εἰρηνικοὺς ἐλάλησε, κατ' ἐπιθυμίαν τῆς ψυχῆς αὐτοῦ, οὐ κατὰ τὴν βούλησιν τοῦ νόμου, ἀλλ' εἰς τὸ θέλημα τῆς ψυχῆς αὐτοῦ. διὰ τοῦτο ἐξέρχεται τὸ κρίμα διεστραμμένον. Εἶτα λέγει τῷ Θεῷ προνοητῇ τοῦ κόσμου, ὁ πάντων φειδόμενος, παρασιω-

πῶς οὖν τὸν καταπίνεσθαι τὸν δίκαιον ὑπὸ τοῦ ἀσεβοῦς; καὶ ποιήσεις τοὺς ἀνθρώπους ὡς τοὺς ἰχθύας τῆς θαλάσσης ἀλλήλους καταπίνοντας, ὡς οὐκ ἔστιν ἡγούμενος; ὡς ταῦτα ἐνέτυχε, καὶ ταῦτα ἔδειξεν, ὡς προφήτης ἄρχεται λέγειν μετὰ τὸ πληρῶσαι τὸν λόγον, ἐπὶ τῆς φυλακῆς μου στήσομαι, καὶ ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος, καὶ τί ἀποκριθήσομαι πρὸς τὸν ἔλεγχόν μου. ἰδοὺ ποίαν λύσιν τοῖς ζητήμασι δίδωσιν. ἐρωτήσας περὶ τῆς ἀνωμαλίας τῶν πραγμάτων, διὰ τί διαφορὰ ταῦτα γίνεται, ἐπὶ τῆς φυλακῆς μου, φησί, στήσομαι. τί ἐστι φυλακή; φυλακὴν λέγει ὁ δίκαιος τὸ μὴ προπετῶς λαλεῖν. ὅταν τις, ἀδελφοί, ἀπορῇ τῶν πραγμάτων τῶν ἐν τῷ βίῳ τούτῳ, οὐκ ὀφείλει προπετῶς ἀποκρίνεσθαι· οὐ προνοεῖ ὁ Θεὸς τοῦ κόσμου, οὐ διαφέρει αὐτῷ τῶν γινομένων, κατέλιπε τὴν οἰκουμένην, οὐκ ἐφορᾷ τὴν γῆν; ὡς διαβάλλει Δαβὶδ τοὺς κακοὺς λέγων, (Ψαλ. ϟγ. α.) Τὸν λαόν σου, Κύριε, ἐταπείνωσαν, καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν· χήραν καὶ ὀρφανὸν ἀπέκτειναν, καὶ προσήλυτον ἐφόνευσαν· καὶ εἶπαν, οὐκ ὄψεται Κύριος, οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ. καταψηφίζεταί σου ἀπονοίας· (Ψαλ. ιγ. α.) Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός, οὐδὲ προνοεῖ ὁ Θεός. ἐγὼ δὲ ὁ προφήτης, εἰ καὶ δυσχεραίνω ἐπὶ τῇ ἀνωμαλίᾳ, ἀλλ' οὐ προπετεύομαι. ἐπὶ τῆς φυλακῆς μου στήσομαι, ἀντὶ τοῦ, φυλακῆς τῆς ἐμῆς οὐκ ἀφίσταμαι. ποίας; τὸ μὴ προπετῶς φθέγγεσθαι, μηδὲ ἀποφαίνεσθαι ἀπὸ ἀνθρωπίνων λογισμῶν περὶ πράγματα, ἀλλὰ ἀναμένειν Θεοῦ διδασκαλίας. ἐπὶ τῆς φυλακῆς μου στήσομαι. φυλακὴν λέγει, τὸ μηδὲν λαλῆσαι προπετῶς. (Ψαλ. ρμ. γ.) Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου. καὶ ἐπὶ τῆς φυλακῆς μου στήσομαι, καὶ ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός, καὶ τί ἀποκριθήσομαι πρὸς τὸν ἔλεγχόν μου. οὐκ εἶπε, τί ἀποκριθῇ ὁ Θεός, ἀλλά, τί ἀποκριθῶ ἐγώ. διὰ γὰρ τοῦ αὐτοῦ προφήτου καὶ τὰ ἐγκλήματα, καὶ ἡ λύσις τῶν ἐγκλημάτων. καὶ εἶπε Κύριος πρός με, ἐπειδὴ λαλεῖς, οὐκ ἔξωθεν φθεγγόμενος· κάθισον γράψον ἐπὶ πυξίου εἰς βιβλίον σαφῶς, ἵνα σαφῶς τρέχῃ ὁ ἀναγινώσκων αὐτά. τουτέστι, δῆλα τὰ γράμματα, τρανά, φανερά· ἵνα μὴ ἡ δυσκολία τῆς ἀναγνώσεως ἐμποδίσῃ τὴν γνῶσιν· ἵνα σαφῶς τρέχῃ ὁ ἀναγινώσκων. τί οὖν γράψω; ὅτι ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. ἐπειδὴ κριτὴν ζητεῖς δίκαιον ἐρευνῶντα τὰ ὑπὸ τῆς δυναστείας κρυπτόμενα, ζητοῦντα τὰ ἀδικήματα, ἐπειδὴ κριτὴν ζητεῖς ἐρευνῶντα τὰ γινόμενα, δικαίως ἀπαιτοῦντα πάντα τὰ παραλόγως κατασκευαζόμενα. ἥξει ὁ κριτής· ὅτι ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. καὶ οὐ λέγει, ἰδοὺ ἥξω, ἀλλ', ἰδοὺ ἥξει. ἐγώ σοι κριτὴν ζητῶ. τίς ἔσται ἄλλος παρὰ σὲ ἐρχόμενος ** καὶ κρίνων; εἰ δὲ ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται, μὴ τῇ ἐμῇ κρίσει, ἀλλὰ τῇ πίστει ταμιευόμενος τὴν ἀλήθειαν. ὅτι ὁ ἐρχόμενος ἥξει. ποῖος ἐρχόμενος; σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; ὅτι ὁ ἐρχόμενος ἥξει. μηδὲν ἄλλο γράψῃς. λύσις πάντων τῶν ζητημάτων Χριστοῦ παρουσία. ὁ ἐρχόμενος ἥξει. ὅπου Χριστός, λύεται ζήτημα· ὅπου Χριστός, λύεται φόβος καὶ δειλία. ἐδειλίασάν ποτε ἐν τῇ θαλάσσῃ οἱ μαθηταί, καὶ φησι, Θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε. (Ματθ. ιδ. κζ.) Χριστοῦ παρουσία, λύσις πάντων τῶν κακῶν. ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ· ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. ἐὰν πιστεύῃς, ὅτι ἔρχεται ὁ δίκαιος κριτὴς ἀποδοῦναι ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ, καὶ μὴ ἀπορήσῃς πρὸς τὴν βραδύτητα τῶν φαινομένων ὁρῶν, ἀλλ' ἀναμένῃς τὴν ἀλήθειαν τὴν ἀψευδῆ, ζήσῃ ἐκ πίστεως. τοῦτο τὸ λόγιον ὁ θεῖος ἀπόστολος εἰς τὸν σωτῆρα ἐκλαμβάνει· οὐ γὰρ ἡμεῖς ταῦτα θεωροῦμεν, ἀλλὰ τοῖς ἁγίοις ἡμῶν πατράσι καὶ διδασκάλοις ἀκολουθοῦμεν, τοῖς οὕτω θεωρήσασι περὶ τοῦ σωτῆρος. διαλεγόμενος γὰρ λέγει Παῦλος, Ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, φυλάξατε τὴν ἀρχὴν τῆς πίστεως. καὶ ἄλλα τινὰ μεταξὺ εἰρηκὼς ἐπάγει· (Ἑβρ. ι. λζ.) Ὅτι μικρὸν ὅσον ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ· ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. εἶτα ἑρμηνεύων λέγει· ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου. ἡμεῖς δέ, ἀδελφοί, οὐκ ἐσμὲν ὑποστολῆς τέκνα, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς.

Ὁ ἐρχόμενος ἥξει· ἥξει πάντως, καὶ κρινεῖ. ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ ἀνταποδώσει· αὐτὸς ἥξει. ὅπου ἡ παρουσία, ἐκεῖ καὶ ἡ κρίσις, παρουσία ἡ ἔνδοξος, ἡ μέλλουσα, ὅτε σαλπίσει ὁ ἄγγελος, καὶ πάντες ἀναστήσονται οἱ ἐν τοῖς μνημείοις. Ταῦτα ἀκούσας ὁ προφήτης, καὶ διαλεχθεὶς τῷ Θεῷ, ἔτρομε δὲ ἀκούσας κρίσιν τε δικαστὴν ἐρχόμενον, εὐθέως ἀναβοᾷ, ἐκπλήξεως πληρωθεὶς τὴν διάνοιαν, προσαγαλλόμενος τῷ κηρυχθέντι· Κύριε, Αμβ. γ. α.
εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην, ἐν μέσῳ δύο ζώων γνωσθήσῃ. πολλοῖς μὲν ἔδοξεν εἰπεῖν, τὸ ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, τουτέστι, ζωῆς μιᾶς τοῦ αἰῶνος τούτου καὶ τοῦ μέλλοντος· πολλοῖς δὲ πάλιν, ἐν μέσῳ δύο λῃστῶν. πάντων δὲ τὸ ἀσφαλὲς ἔοικε, τὸ μεταξὺ τῆς πρώτης διαθήκης καὶ τῆς δευτέρας. Ταῦτα γάρ ἐστι τὰ ζῶα τὰ λογικὰ, τὰ ταύτας ἡμᾶς ζωοποιοῦντα. τὰ γὰρ θεῖα ῥήματα ζωοποιὸν ἔχει δύναμιν. ἐν μέσῳ δύο ζώων γνωσθήσῃ. ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ. οὐδέπω γὰρ ἐπιγνώσθης, ἀλλ' ἐν τῷ ἐγγίζειν τὰ ἔτη· αὐτίκα περὶ τὸ πλήρωμα τῶν καιρῶν τότε μέλλεις γνωρίζεσθαι, τότε μέλλεις κηρύττεσθαι. τοῦτο δὴ ἀκούσας, καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. ποῖα ἔργα κατενόησας; ὅτι ὁ ποιητὴς τοῦ οὐρανοῦ καὶ τῆς γῆς μέχρι τοῦ νῦν λαθεῖν τὸν κόσμον. Ἐν γὰρ τῷ κόσμῳ Ἰωάν. α. ι.
ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ. οὐκ εἶπε, δημιουργηθήσῃ, οὐκ εἶπε, πλασθήσῃ, ἀλλὰ, γνωσθήσῃ, τῇ μὲν φύσει αἰώνιος, τῇ δὲ γνώσει νέος. ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ, τουτέστι, βασιλεὺς ἀναγορευθήσῃ. Εἶτα εἰπὼν τοῦτο, ἐπάγει τὴν οἰκονομίαν. ὁ Θεὸς ἡμῶν ἐκ Θαιμὰν ἥξει, τουτέστιν, ἐκ μεσημβρίας· καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος. ὄρος κατάσκιον τὴν ἁγίαν παρθένον καὶ θεοτόκον καλεῖ. τινὲς δὲ καὶ εἰς τὸ τῆς Σιὼν ὄρος τοῦτο ἐκλαμβάνουσι. τῇ γὰρ θείᾳ δυνάμει ἐπεσκιάζετο. ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. ἄρχεται λοιπὸν ὡς φίλῳ διαλέγεσθαι καὶ γνωρίμῳ. ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου τοῦ σῶσαι τοὺς χριστούς σου· ἐπεβίβασας τοὺς ἵππους σου ἐφ' ὕδατα θαλάσσης. ποίους ἵππους; τοὺς ἀποστόλους· θάλασσαν δὲ τὸν κόσμον, ὡς φησιν Ἡσαΐας· Οὐαὶ πλῆθος ἐθνῶν πολλῶν, ὡς Ησ. ιζ. ιβ.
θάλασσα κυμαίνουσα, οὕτω ταραχθήσεσθε. ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου ταράσσοντας ὕδατα πολλά. ταραχῆς ἐπληροῦτο ἡ οἰκουμένη· ἤκουσαν γὰρ νέον κήρυγμα, ξένον βασιλέα, καινὴν νομοθεσίαν καὶ διδασκαλίαν. οὕτως ἐταράχθησαν, ὡς εἰς Μακεδονίαν ἐλθόντος τοῦ μακαρίου Παύλου βοῆσαι τοὺς ἐν Μακεδονίᾳ, Οἱ τὴν οἰκουμένην ἀναστατώ- Πραξ. ιζ. ϛ.
σαντες, οὗτοι καὶ ἐνθάδε πάρεισιν. ἐταράττετο ἡ ἀπιστία, ἐστηρίζετο ἡ ἀλήθεια· ἵνα δείξῃ ὅτι τῶν αὐτῶν ἵππων ἦν καὶ ταράττειν τοὺς ξενιζομένους, καὶ φωτίζειν τοὺς ἁγιαζομένους. ὁ εἰπὼν, ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου ταράσσοντας ὕδατα πολλὰ, ὁ αὐτὸς ἐν τῇ αὐτῇ ᾠδῇ λέγει· Ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία. Ταῦτα μαθὼν ὁ προφήτης, Αμβ. γ. ζ.
κηρύττει Ἰουδαίοις· Τάδε λέγει Κύριος, ἰδοὺ ἐγὼ ποιῶ ἔργον ἐν ταῖς ἡμέραις ὑμῶν, ὃ οὐ μὴ Αμβ. α. ε.
πιστεύσητε, οὐδ' ἐάν τις ἐκδιηγῆται ὑμῖν· μᾶλλον δὲ οὕτως· Ἴδετε οἱ καταφρονηταὶ, καὶ ἐπιβλέψατε καὶ ἀφανίσθητε, ὅτι τάδε λέγει Κύριος· ἰδοὺ ἐγὼ ἐργάζομαι ἔργον ἐν ταῖς ἡμέραις ὑμῶν, ὃ οὐ μὴ πιστεύσητε, οὐδ' ἐάν τις ἐκδιηγῆται ὑμῖν. ἔργον λέγει τὴν οἰκονομίαν τοῦ σωτῆρος. τί δήποτε ποιῶ ἔργον, ὥστε κηρυττόμενον παρ' ὑμῶν μὴ πιστεύεσθαι; Ταύτην τὴν φωνὴν πάλιν ἐκλαμβάνων Παῦλος καλῶς, καὶ ἐν Ῥώμῃ Ἰουδαίοις διαλεγόμενος λέγει·
Βλέπετε οὖν μὴ ἐπέλθῃ ἐφ' ὑμᾶς τὸ γεγραμμένον· Ἴδετε οἱ καταφρονηταὶ, καὶ ἐπιβλέ- Πραξ. ιγ. μα.
ψατε, καὶ ἀφανίσθητε· ὅτι ἐγὼ ἔργον ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ἔργον, ὃ οὐ μὴ πιστεύσητε. Ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον, ἵνα καὶ τὴν τῶν πατέρων δέξωμαι διδασκαλίαν, θεραπεύων τὰ τραύματα τῶν ἀσθενούντων, προσελθὼν τῷ ἰατρῷ, τῷ θείῳ λόγῳ τῷ λαβόντι παρὰ Θεοῦ τὴν ἰατρείαν. οἶδε καὶ τὸ σιδήριον τοῦ λόγου τεμεῖν τὸ ἕλκος, καὶ ἐμφράξαι τὰ

κενὰ τὰ ἕλκη τοῖς φαρμάκοις τῆς ἀληθείας. ὡς γὰρ ἐπὶ τῶν ἰατρευομένων μετὰ τὴν τομὴν εἰσέρχεται τὰ ῥάκη ἐνδόσια, ἐμβάλλεται δέ, ἵνα διὰ τὸ διαστῆναι, καὶ μὴ συμπτύξῃ τὰ ἰοῦρα, καὶ τῇ μοτώσει διασφαλίζεται τὴν σύμπτυξιν τῶν χειλέων· οὕτω καὶ ὁ Θεός, ἐπειδὴ μὴ ἀναπτύξῃ τῷ θείῳ λόγῳ, ὥσπερ σιδήρῳ τὸ γλύμμα, τότε ταῖς θείαις ἐντολαῖς καὶ τῇ θείᾳ διδασκαλίᾳ μοτοῖ αὐτά. οὐκ ἐμὸς ὁ λόγος· ἄκουε τοῦ προφήτου λέγοντος τοῖς πεπλανημένοις·
Ωσ. ς. α. Λάβετε μεθ' ἑαυτῶν λόγους, καὶ εἴπατε· ἐπιστρέψωμεν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ὅτι αὐτὸς ἔπαισε καὶ ἰάσεται ἡμᾶς· πατάξει καὶ μοτώσει καὶ ὑγιάσει ὑμᾶς. πότε; μετὰ δύο ἡμέρας. διὰ τί μετὰ δύο ἡμέρας; εἰ ὅλως ἐνέργεια Θεοῦ, ἐχρῆν γενέσθαι καὶ ἐν μιᾷ ῥοπῇ. πατάξει καὶ μοτώσει καὶ ὑγιάσει ὑμᾶς μετὰ δύο ἡμέρας· ἐπειδὴ τὸ μέγιστον αὐτῶν τραῦμά ἐστιν ἡ θεομαχία ἡ ἐπὶ τοῦ σταυροῦ, ἴασις δὲ τῶν σταυρωσάντων ἡ ἐλπὶς τοῦ ἀναστάντος· ἀνέστη δὲ ὁ σωτὴρ μετὰ δύο ἡμέρας τῇ τρίτῃ, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν ἐλπίδα σωτηρίας πᾶσι τοῖς μετανοοῦσιν ἐπιδέδωκεν. ἐξ αὐτῶν γὰρ τῶν σταυρωσάντων πολλαὶ μυριάδες ἐπίστευσαν, ὥς φησιν
Πραξ. κα. κ. ἡ γραφή· Θεωρεῖς γάρ, ἀδελφὲ Παῦλε, πόσαι μυριάδες τῶν σταυρωσάντων Ἰουδαίων ἐπίστευσαν; καὶ μετὰ τὸν σταυρὸν οἱ θεομάχοι τῇ δυνάμει τοῦ σταυροῦ ἐθεραπεύθησαν. ἐπεὶ τὴν δύναμιν τῆς ἀναστάσεως ὁ προφήτης ὑποτίθεται, μεθ' ἑαυτῶν, λέγων, λάβετε λόγους, αἴτιοι τοῦ, οὐ χρεία ἔργου, οὐ χρεία διὰ πραγμάτων ἀπολογήσασθαι, ἀλλὰ διὰ λόγων. ἐπειδὴ διὰ λόγων ἠσεβήσατε, καὶ λόγος ὑμᾶς εἰς παρανομίαν ἤγαγε, λόγος ὑμᾶς ἰατρεύσει. λάβετε μεθ' ἑαυτῶν λόγους, καὶ ἐπιστρέψατε πρὸς Κύριον, καὶ εἴπατε· ἐπιστρέψωμεν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ὅτι ἐπάταξε καὶ ἰάσεται ἡμᾶς, πατάξει καὶ μοτώσει καὶ ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας. πῶς, καὶ τίνι τρόπῳ; ἐν τῇ τρίτῃ ἡμέρᾳ ἀναστησόμεθα. καὶ μὴν τῇ τρίτῃ ἡμέρᾳ Χριστὸς ἀνέστη, οὐχ οἱ λοιποί. ἑρμηνεύει δὲ Παῦλος, καὶ συνήγειρεν ἡμᾶς ἐν
Ωσ. ς. β. τῇ τρίτῃ ἡμέρᾳ. Ἀναστησόμεθα σὺν αὐτῷ, καὶ ζησόμεθα ἐνώπιον αὐτοῦ· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Λογ. ρμς. ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ.

Ex edit. August. Πεπλήρωται ἡμῖν λοιπὸν ὁ τῆς νηστείας ἀγών, ἔληξε δὲ εἰς σταυρόν. ποῦ γὰρ ἐχρῆν τῆς νίκης τὸ τέλος, ἢ ἐπὶ τροπαίῳ λήγειν; τρόπαιον γὰρ ὁ σταυρὸς ἅπαξ μὲν παγείς, ἀεὶ διαμένων τρέπει. ποῦ γὰρ εἴδωλα, καὶ ζώων ματαίων οἱ φόνοι, ποῦ ναοί, καὶ δυσσεβείας πῦρ; ἐσβέσθη, πάντα δι' ἓν ἅγιον αἷμα πέπτωκε. καὶ ἔστι σταυρὸς πολυδύναμος δύναμις, βέλος ἀόρατον, φάρμακον ἄϋλον, πηγὴ λυσίπονος, ἐπινίκιος δόξα. ὥστε κἂν μυρία ἕτερα λέγω περὶ Χριστοῦ, κἂν μυρία θαύματα διηγούμενος καταπλήξω τὴν ἀκρόασιν, οὐχ οὕτως ἐπ' ἐκείνοις, ὡς ἐπὶ σταυρῷ σεμνύνομαι. οἷόν τι λέγω. ἐκ παρθένου προῆλθεν Ἰησοῦς· μέγα τὸ θαῦμα γάμον ὑπερβῆναι, καὶ φύσιν καινοτομῆσαι. ἀλλ' εἰ μὴ σταυρὸς ἦν, οὐκ ἂν ἐσώθη τοῖς ἔργοις ἡ προφῆτις τοῦ παρθενίου παρθένος. νυνὶ δὲ ἐν τῷ τοῦ σταυροῦ τρόπῳ, προσώπῳ σώζεται γυνή, τὸ παλαιὸν καὶ νέοις χαρίσμασι θεραπεύουσα. ἀνέστη γὰρ νεκρὸς ἐν τῇ Γαλιλαίᾳ, ἀλλὰ πάλιν ἀπέθανεν· ἐγὼ δὲ διὰ σταυροῦ ἀναστάς, οὐκέτι δύναμαι πρὸς θάνατον πεσεῖν. ἔπλευσεν Ἰησοῦς τὴν θάλασσαν, Θεὸς ἐν σκάφῃ, τὸ ξύλον ἐφήμερον ἔδωκε τὴν ὠφέλειαν· ἐγὼ δὲ ἔλαβον ξύλον αἰώνιον, ἀγαθόν, ᾧ κεχρημένος διὰ τὸ πηδαλίου, τὰ πνευματικὰ τῆς πονηρίας ἀποπνίγομαι κύματα. γρ. πνεύματα
Ματθ. ιδ. ἐτράφησαν πεντακισχίλιοι ὑφ' ἓν πρὸ τοῦ σταυροῦ σημειώματι. ποῦ νῦν τῆς τροφῆς τὰ λείψανα; πῶς ὁ μὴ παρών, τὰ τῶν παρόντων λείμματα λάβω; δέδοικα γὰρ ἦσαν